66 ΟΔΥΣΣΕΙΑ. Ρ. 545.

Οὐχ ὁράας, ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσιν;
Τῷ κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο
Πᾶσι μάλ᾽, οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξοι.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
Αἴκ᾽ αὐτὸν γνώω νημερτέα πάντ᾽ ἐνέποντα,
Ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά.
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
Ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια,
Μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί ἑ θυμὸς
Ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίῃ.
Εἰ δέ κέ σε γνοίη νημερτέα πάντ᾽ ἐνέποντα,
Ἕσσει σε χλαῖνάν τε χιτῶνά τε, τῶν σὺ μάλιστα
Χρηΐζεις· σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον,
Γαστέρα βοσκήσεις· δώσει δέ τοι, ὅς κ᾽ ἐθέλῃσιν.
Τὸν δ᾽ αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Εὔμαι᾽, αἶψά κ᾽ ἐγὼ νημερτέα πάντ᾽ ἐνέποιμι
Κούρῃ Ἰκαρίοιο περίφρονι Πηνελοπείῃ·
Οἶδα γὰρ εὖ περὶ κείνου, ὁμὴν δ᾽ ἀνεδέγμεθ᾽ ὀϊζύν.
Ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδείδι᾽ ὅμιλον,
Τῶν ὕβρις τε βίη τε, σιδήρεον οὐρανὸν ἵκει.
Καὶ γὰρ νῦν, ὅτε μ᾽ οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα
Οὔτι κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,
Οὔτε τι Τηλέμαχος τόγ᾽ ἐπήρκεσεν, οὔτε τις ἄλλος.
Τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι

*A page from the 1758 edition of Homer's* Odyssey. *Photo neg. C9682, Alexander Turnbull Library.*